Ακαδημία Αθηνών / Academy of Athens

γνωρίσματα συνέλεξας ἐκ τοῦ θησαυροῦ τῆς ἀρχαιολογίας.
Γράψον πρὸς τούτοις καὶ τίνες μάλιστα τῶν ἐνδόξων
Ἰταλῶν ἢ ἄλλων νεωτέρων συγγραφέων ἀποδει-
κνύουσι τὴν ἀρχαιότητα τῶν ἁγίων εἰκόνων, καὶ ποῖα
τὰ περὶ τούτων δείγματα τῆς ἱερᾶς ἀρχαιότητος.
Διότι μαίνονται πολλαχοῦ οἱ προδόται, καὶ πάντα λίθον
κινοῦντες οὐ παραλείπουσιν ἐπὶ βλάβῃ τῶν ἱερῶν. Ἐγὼ
δὲ μήθ' Ἡρακλῆς τις εἰμὶ μήτ' Ἰόλαον ἔχω· γενοῦ
δή μοι σύ, φίλε, καὶ Ἀλκείδης, καὶ χεὶρ ~~δεξιὰ~~ δεξιά.
Ὁ κοινὸς φίλος ἔπεισέ με πέμψαι πρὸς ὑμᾶς καὶ ἕνα ἀντίτυπα
τῆς βίβλου, ἵνα κοινωνηθῶσι καὶ τοῖς αὐτόθι τὰ ἐμὰ φλη-
ναφήματα, καὶ δὴ πέμπω σώματα ~~...~~ · τὰ δὲ περὶ
τούτων ἡ ἀγάπη σου φροντισάτω. Τὸ βιβλίον τιμᾶται
τεσσάρων δραχμῶν. Περιμένω τάχιον ἐπιστολὴν
ὡς διψῶσα ἔλαφος, τὰ δὲ ῥεῖθρα τῶν γλυκερῶ-
ῥέει | σου ναμάτων ἄφθονα | πάντα. ἡ χάρις.
Ἀθήνησι τῇ 15. Ἀπριλ. 1839.

«Τῷ ἁγίῳ Θαβωρίου (διαδόχῳ τοῦ Μακαριωτάτου Ἱεροσ. κ. Ἱεροθέῳ.

4) Σεβασμιώτατε Ἱεράρχα!

«Τὰ τῷ αὐτῷ σχετικὰ συσχετίζονται καὶ πρὸς ἄλληλα,
καθὼς ~~...~~ ἀξιοῦσι παῖδες γεωμετρῶν. Καὶ ἡ μὲν
ὑμετέρα πανίερος κορυφὴ οἰκεία τοῦ Μακαριωτάτου
καὶ θειοτάτου Δεσπότου καὶ Πατριάρχου, παῖς δὲ κἀγὼ
τῆς ἐκείνου Μακαριότητος καὶ τέκνον ἐλάχιστον.
ἐνδόξως ἄρα καὶ τῆς στοργῆς ἀπολαύω, καὶ δεκτὸς
φανήσομαι τὸ σέβας τὸ προσῆκον προσάγων τῇ
θεοπρεπεστάτῃ αὐτῆς κορυφῇ. Τούτοις τοῖς λογισμοῖς θαρρυν-
θεὶς παρίσταμαι διὰ τῆς ἐπιστολῆς μου ταύτης, ἄγνωστος
ἄνθρωπος, προσδιαλεγόμενος εὐλαβῶς πρὸς τὴν πανίε-
ρον αὐτῆς ψυχὴν καὶ θερμότατα αἰτούμενος ἵνα μετὰ
τῶν αὐτῇ προσφιλεστάτων καταταχθῶ. Τεκμήριον τὸ

Ακαδημία Αθηνών / Academy of Athens

Λεοντίῳ Γυμνασιάρχῃ τῆς Ναυπλίας

2) Κ. Λεοντίῳ Κ. Οἰκονόμος χαίρειν!

Διὰ μὲν ~~τῆς~~ γραφίδος οὐκ ἀπήντησα τοῖς γράμμασί τοισιν, ἔργῳ δ' ἔρεξα τά τ' ἐχρῆν· σὺ δὲ χαῖρε, καὶ ἕκηλος ἔσσο· τοὺς δ' ἔα φθινύθειν, ἀλλοῖοι κέλωνε ὅτεω καὶ ἄλλου σε χρή. Δέξαι δὲ καὶ τὸ ζεῦγος τό σοι δωροῦμαι, νέον ἐκδούς· καὶ τὸ μεγάλαυχον ὀρθὸν κάθυμος ἄγε· καὶ πρόσειπε τοὺς οἰκείους, καὶ φίλει, καὶ εὖ πράττε, καὶ τὴν Ἑλλάδα μοῦσαν παίδευε τοὺς Ἕλληνας.

τῇ ιθ Μαρτ. αωλθ. Ἀθήνησι.

Τῷ ἱππεῖ Α. Μουστοξύδῃ εἰς Κέρκυραν.

3) Τῷ σοφῷ Α. Μουστοξύδῃ Κ. Οἰκονόμος χαίρειν!

Ἀκοῇ μὲν ὦτα ᾔκουον σου τὸ πρόσθεν, ἔκ τε τῆς φήμης ἑκατογλώσσου γνωρίζων, ~~ἐκ~~ ἔκ τε τῶν σοφῶν Συγγραφέων ~~...~~, καὶ ἀφ' ὧν καλῶν καὶ μεγάλων ~~...~~ ~~ἔργων ἀγαθῶν~~ εὐηργέτηκας τὴν Ἑλλάδα· καὶ σοῦ καὶ τὴν σοφίαν ἐθαύμαζον, καὶ τὴν ἀρετὴν ἠγάπων, καὶ τῇ πατρίδι συνέχαιρον· καὶ πολλοῦ ἦν μοι καὶ διὰ φρενὸς καὶ διὰ στόματος ὁ κλεινὸς Μουστοξύδης. Εἰ δ' ἄγνωστος ἐγὼ παρ' αὐτῷ (ἢ ὅμως) ἀλλ' οὔτι κωφὸς οὔτε μεγάλος εἰμὶ τοσοῦτον, ὥστε "Ἡρακλεῖ στόμα μὴ παραβάλλειν". Ἤδη δὲ καὶ συναγαγόντων ἔχουσα περὶ τὴν σοφήν σου κορυφήν, "ἄνερ ἐπιθυμιῶν τῶν τοῦ Πνεύματος"! ἀγαλλιῶ, χρώμενος τῇ γραφίδι, διότι μὴ δύναμαι τῇ γλώσσῃ (φθονοῦντος τοῦτο τοῦ δαίμονος ~~...~~ καὶ τῇ Ἑλλάδι πάσῃ τῇ καθ' ἡμᾶς, καλλοῖ τῇ μάλιστα ποθούσῃ σε!). Ἀπαρχὴν δέ τινα τῆς μετὰ σοῦ προσλαλιᾶς πέμπω τὸ νεοτύπωτόν μου



ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

βιβλιάριον. Σὺ δὲ μή με παρὰ τῶν Μουσῶν ὑβριστοῦ ὑπολάβῃς. Εἰδὼς καὶ ἄλλως ἰσχνός, ἀλλὰ μανθάνεις γοῦν καὶ ὅτι ἡ ἀγάπη πάντα καὶ στέγει καὶ τολμᾷ, (τά με ~~θαρσαλ...~~

(τῇ ἀληθείᾳ)
Ναρκῶ λογιζόμενος τὴν ὥραν καθ' ἣν ~~...~~ τὰς ~~...~~ ὄψεις ἐπιβαλεῖς εἰς τὰς στίβας τῶν ἐννοιῶν ~~μου~~· ἀλλὰ πάλιν ἐγκαρδιοῦμαι διενθυμούμενος ὅτι τῶν Μουσῶν ἱερὰ πρόσθεν ἢ κριτικὴ ~~...~~ (καὶ λίαν ἐπιεικὴς ἢ καὶ ~~...~~ στάθμη) διευθετεῖ χειρὶ μαλακῇ καὶ ῥυθμίζει πάντα τὰ ~~...~~ καὶ ἀνωμαλίαν εἰσέχοντα ἢ προέχοντα καὶ ὁπωσδήποτε δυσάρμοστα καὶ κακόθετα, κἂν τιμιώτατα ταῦτα τυγχάνωσιν ὄντα (οἷα τὰ ἐμά), κἂν λευκοῦ μαρμάρου λίθοι, ἐν δομῇ ἐμμέλειοι. ~~...~~ Μὴ τοίνυν ἀπαξιώσῃς, παρακαλῶ, χαράξαι μοι τὰ πλημμελῆ καὶ διορθωτέα, σχοινίῳ μεμιλτωμένῳ διασημάνας, ὡς ἀγαθός τις καὶ ἐπιεικὴς ἀρχιτέκτων, καὶ δομὸν τοιχάριον, ὅδου πάρεγγυον, κοσμῶν, μηδ' ἐάσῃς με ἐπὶ τῶν λόγων ἀνεπανόρθωτον, χρυσῆν τὴν στάθμην ἐπιβαλών.

Ὁρᾷς, ὦ φίλη κεφαλή, οἷα τὰ καθ' ἡμᾶς καὶ τοὺς ἡμετέρους λογίους, ἐν τῇ βίβλῳ συνεικάζων, καὶ οἷοι Κορυφαῖοι, (κατὰ δυστυχίαν, ὁμογενεῖς) λῃΐζονται τὰ πάτρια, καὶ σκυλῶσι τὰ ἱερώτατα. Καὶ συναλγεῖς, εὖ οἶδ' ὅτι, καὶ τῇ πατρίδι, καὶ ἐμοί, οἷς μῦθος αὐτοῖς ἐγενόμην, καὶ μένω ὁ ἠλίθιος ὡς πρόβλης τις πέτρα, παντοίως / δεχόμενος τῶν ~~...~~ / (παρ' ἀξίαν) κυμάτων αὐτῶν τὰς ὁρμάς. Σὺ δ' εἴ τινα πρὸς ταῦτα καλὴν καὶ γαλήνιον ἔχεις ἐπῳδὴν (καὶ πάντως ἔχεις πολλάς) κοίνωσον μοι, παρακαλῶ.

Γράφοι μοι εἷς τινα τῶν νεωτέρων μάλιστα συγγραφέων βιβλία ἐξελέγχοντα τοῦ Ἑβραϊκοῦ κειμένου τὴν διαφθορὰν, καὶ τῶν Ο, προασπίζοντα, καὶ ὅσα περὶ τούτου